# ΑΚΟΛΟΥΘΙΑ

ΤΩΝ

## ΟΣΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ ΓΥΝΑΙΚΩΝ

ΠΑΣΩΝ ΤΩΝ ΕΝ ΑΣΚΗΣΕΙ ΛΑΜΨΑΣΩΝ

ΣΥΝΤΕΘΕΙΣΑ

ΥΠΟ

**ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ**

ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ

ΑΚΟΛΟΥΘΙΑ

ΤΩΝ ΟΣΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ ΓΥΝΑΙΚΩΝ ΠΑΣΩΝ ΤΩΝ ΑΠ' ΑΙΩΝΟΣ ΕΝ ΑΣΚΗΣΕΙ ΛΑΜΨΑΣΩΝ, ΕΞ' ΩΝ ΑΙ ΓΝΩΣΤΑΙ ΕΚ ΤΩΝ ΣΥΝΑΞΑΡΙΩΝ ΕΛΗΦΘΗΣΑΝ ΚΑΙ ΕΝΤΑΥΘΑ ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ ΚΑΤΕΧΩΡΙΣΘΗΣΑΝ, ΚΑΙ ΟΤΙ ΤΙΣ ΒΟΥΛΕΤΑΙ ΤΗΝ ΜΝΗΜΗΝ ΤΟΥΤΩΝ ΕΠΙΤΕΛΕΙΤΩ.

ΠΕΙΡΑΙΕΥΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΙΩΑΝ. ΔΕΛΑΚΗ
1927

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

*Ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοι*

*Ἦχος α'. Πανεύφημοι μάρτυρες*

Προφρόνως ἐν ὕμνοις ἱεροῖς, ἱερῶς τελέσωμεν, τὴν ἱερὰν μνήμην σήμερον, ἀγαλλιώμενοι, τῶν πιστῶν οἱ δῆμοι τῶν Ὁσίων Γυναικῶν, πασῶν τῶν ἀπ' αἰῶνος ἀσκησασῶν, τὰ κατορθώματα, καὶ τὰ θεῖα τούτων σκάμματα, ἃ γενναίως, ἤνυσαν γεραίροντες.

Τρωθεῖσαι τῷ ἔρωτι Χριστοῦ, τῷ ἁγίῳ πάνσεμνοι, πάντα τῆς γῆς ὥσπερ σκύβαλα, σαφῶς ἀπώσασθε, ὅθεν τὰς ἀφθάρτους δωρεὰς εἰλήφατε. καὶ δόξης τῶν Ἀγγέλων ἐτύχετε, μεθ' ὧν πρεσβεύσατε, ἐκτενῶς ὑμῶν δεόμεθα, τοῦ δοθῆναι, ἡμῖν πταισμάτων ἄφεσιν.

Φραξάμεναι ὅπλῳ τοῦ Σταυροῦ, πᾶσαι ἐχωρήσατε, ἐχθροῦ πρὸς πάλην γηθόμεναι, τοῦ πρὶν ἐξώσαντος. τρυφῆς Παραδείσου δόλῳ τοὺς Προπάτορας, καὶ τοῦτον κατὰ κράτος τροπώσασαι, τρυφὴν τὴν ἀῤῥευστον, ἐκληρώσασθε πανεύφημοι, τοῖς Ἀγγέλοις, ἐν ᾗ συναγάλλεσθε.

Καμάτων τὰ ἔπαθλα ὑμῶν, εἰληφυῖαι ἔνδοξοι, καὶ τὴν τῶν πόνων ἀντίδοσιν, καὶ τὴν ἀΐδιον, ζωὴν ἔνθα πέλει ὄντως φῶς ἀνέσπερον, καὶ ἦχος ὁ γλυκὺς ἐπακούεται, ἀεὶ εὐφραίνεσθε, τῶν ὑμνούντων ὑπερήδιστα, ἀνυμνοῦσαι, σὺν αὐτοῖς τὸν Κύριον.

*Δόξα. Ἦχος β'.*

Τῶν θεοφόρων Γυναικῶν τὸν σύλλογον, συνελθόντες ἐπαξίως, ἐν ᾠδαῖς εὐφημήσωμεν· αὗται γάρ, ἐν ἀρεταῖς διαλάμψασαι, καὶ τῶν παθῶν τὸν ζόφον μειώσασαι, πρὸς ἀνέσπερον φέγγος ὡς εἰκὸς μετεβιβάσθησαν, σὺν Ἀγγέλοις ὑμνοῦσαι, Τριάδα τὴν ὑπεράρχιον, ἣν καὶ πρεσβεύουσιν, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτόκιον*

Τὴν πᾶσαν ἐλπίδα μου κ.τ.λ.

*Εἰς τὸν στίχον στιχηρὰ προσόμοια*

*Ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.*

Ἄρασαι τὸν Σταυρόν, ἐπ' ὤμων τοῦ Σωτῆρος, καὶ τρίβον τὴν εὐθεῖαν, ὡδεύσασαι τῆς Θείας, δόξης κατηξιώθητε.

*Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν ἡ αἴνεσις αὐτοῦ*

Ὕμνοις ἐν ἱεροῖς, Μοναζουσῶν τὸ στῖφος, ὑμνήσωμεν εἰκότως, Γυναῖκας τὰς Ὁσίας, Τριάδα μεγαλυνούσας.

*Στίχ. Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται.*

Αἴγλῃ τῇ ὑπὲρ νοῦν, λαμπόμεναι ἀῤῥήτως, σκηναῖς ἐν Οὐρανίαις, παθῶν ὑμᾶς ἀχλύος, λυτρώσασθε μακάριαι.

*Δόξα. Τριαδὸν Ὅμοιον*

Σέλας τὸ τριλαμπές, Πάτερ Υἱὲ καὶ Πνεῦμα, Τριὰς ἡ Παναγία, πρεσβείαις τῶν Ὁσίων Γυναίων ἡμᾶς οἴκτειρον.

*Καὶ νῦν. Θεοτοκίον Ὅμοιον*

Πάναγνε Μαριάμ, τὸν σὸν Υἱὸν δυσώπει, μετὰ τῶν Θεοφόρων, Γυναίων οἰκτειρῆσαι ἡμᾶς τοὺς σοὶ προσφεύγοντας.

*Τὸ νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον (ὅπερ βλέπε ἐν τῷ μεγάλῳ ἑσπερινῷ) καὶ Ἀπόλυσις τοῦ μικροῦ Ἑσπερινοῦ.*

## ΕΝ ΔΕ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

*Μετὰ τὸν Προοιμιακὸν, τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους η' καὶ ψάλλομεν στιχηρὰ Προσόμια.*

*Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Τὰ τοῦ Λόγου ὀσφράδια, τὰ ἀρωματοσύνθετα, ἄνθη ποικιλόχροα καὶ μυρίπνοα, τὰ λεπταῖς αὔραις τοῦ Πνεύματος, σεπτῶς διαπνεόμενα, καὶ ποικίλων τὰς ὀσμάς, χαρισμάτων εἰς ἅπαντα ἀποστέλλοντα, τὰ πληρώματα γῆς ἀπελαυνούσας, ψυχικὰς τὰς δυσωδίας, θεῖαι Γυναῖκες ὑμνείσθωσαν **(δίς)**.

Οἱ Πυρσοὶ γῆς οἱ ἄσβεστοι, φρυκτωρίαι αἱ πάγχρυσαι, αἱ λαμπροπυρσόμορφον φῶς ἀκάματα, ἁπανταχοῦ διαχέουσαι, ἀρετῶν ἐνθέων τε, καὶ θαυμάτων ὑπὲρ νοῦν, καὶ διώκουσαι τέλεον ἀπογνώσεως, καὶ δεινῆς ἀθυμίας ζόφον πάντα, αἱ θεοειδεῖς Γυναῖκες, θεοπρεπῶς εὐφημείσθωσαν.

Εὐσεβείας αἱ σάλπιγγες, καὶ Τριάδος αἱ φόρμιγγες. Ἐκκλησίας ἄσειστα τὰ προπύργια, τῆς ἀσεβείας τὰ θέριστρα, ἀσκήσεως γνώμονες, καὶ ἀθλήσεως ὁμοῦ, οἱ κανόνες αἱ θάλασσαι τῶν θαυμάτων τε, τὰ πυξία τοῦ Πνεύματος τοῦ Θείου, ἐπαινείσθωσαν εἰκότως αἱ Παρθενόαθλοι ἅπασαι.

*Ἕτερα προσόμοια*

*Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.*

Σήμερον ἀνέτελεν, ὡς οὐρανὸς ἀστερόεις, ἡ λαμπρὰ πανήγυρις, τῷ τῆς Ἐκκλησίας νῦν στερεώματι, τῶν Ὁσίων Γυναικῶν. τὰ τῆς γῆς πέρατα, ἀστεροφεγγέσι χάρεσι, καταλαμπρύνουσα, καὶ των νοσημάτων σκεδάζουσα, τὸ σκότος τὸ βαθύτατον, καὶ δαιμόνων σμῆνος ἐλαύνουσα· διὸ συνελθόντες, εὐρύθμοις μελῳδίαις ἱεραῖς, ταύτην πιστῶς ἑορτάσωμεν, τὸν Χριστὸν δοξάζοντες **(δίς)**.

Παννυχίοις στάσεσι, καὶ πανημέροις συντόνοις, ἱεραῖς δεήσεσι, καὶ τοῖς ἀεννάοις δακρύων χεύμασι, τῶν παθῶν Ὅσιαι, τὰς ὁρμὰς εἰς τέλος, ἀκαθέκτους ἀνδρικώτατα, ἀπενεκρώσασαι, Πνεύματος δοχεῖα γεγόνατε, οὐ ταῖς φαιδραῖς ἐλάμψεσιν, ἱερῶς τὸν νοῦν φωτιζόμεναι, ὑπὲρ λαμπηδόνων, ἡλίου ἐξηστράψατε σαφῶς, καὶ τὸν ζοφώδη ὠλέσατε, ἐχθρὸν τὸν χαιρέκακον.

Βίον τὸν ἰσάγγελον, ἐπὶ τῆς γῆς μετελθοῦσαι, ὑλικῷ ἐν σώματι, τὸν ἐχθρὸν τὸν ἄϋλον ἐτροπώσασθε. ξενοθήλεις πάνσεμνοι, ταῖς ἀϋλωτάταις, διὸ τάξεσι συνήφθητε, ἀΰλοις λάμψεσι, τῆς ἀρχικωτάτης λαμπόμεναι, Τριάδος καὶ Θεούμεναι, ἱεραῖς καὶ θείαις μεθέξεσι, παθῶν τῆς ἀχλύος, καὶ σκότος ἐξωτέρου ταῖς εὐχαῖς, ὑμῶν λυτρώσασθε ἅπαντας, τοὺς ὑμᾶς γεραίροντας.

*Δόξα. Ἦχος πλ. β'.*

Σήμερον ᾀσματικῶς πανηγυρίσωμεν, καὶ πνευματικῶς εὐφρανθῶμεν, ἐπὶ τῇ πανσέπτῳ μνήμῃ, τῶν Θεοφόρων Γυναικῶν. Αὗται γάρ, τὰ ἐπίγεια πάντα βδελυξάμεναι, ὡς ἐπίκηρα καὶ φθαρτά,



τὰ οὐράνια ἀγαθὰ ἀπειλήφασι καὶ τὸν Σταυρὸν τοῦ Χριστοῦ ἀράμεναι, ἀγγελικῶς ἐν γῆς ἐπολιτεύθησαν, διὸ συμβασιλεύειν αὐτῷ, σὺν Ἀγγέλοις ἠξιώθησαν. Ὅθεν καὶ τὰ λείψανα αὐτῶν, πᾶσαν νόσον ἐξ ἀνθρώπων θεραπεύουσι, καὶ τὰ ἀκάθαρτα πνεύματα ἐλαύνουσιν· ἃς εὐφημοῦντες φαιδρῶς, ἐκβοήσωμεν λέγοντες· ὑπὲρ ἡμῶν Χριστῷ πρεσβεύσατε, παμμακάριστοι Γυναῖκες, τῶν ἑορταζόντων πιστῶς, τὴν σεπτὴν ὑμῶν πανήγυριν.

*Καὶ νῦν. Ὁ αὐτὸς Θεοτόκιον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος, ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνή, Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος, τὸ φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα*

*Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα*

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ ἀκουσάτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγὼ εἰμί. Ἔμπροσθέν μου, οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμὶ ὁ Θεός, καὶ οὐκ ἔστιν πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ μάρτυς λέγει Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγὼ εἰμί, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων, ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ, προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα ὀξυνεῖ δὲ ἀπότομον ὀργήν, εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν

ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλιτμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακροπραγία περιτρέψει Θρόνους δυναστῶν Ἀκούσατε οὖν βαοιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ δυναστεία παρὰ Ὑψίοτου.

*Εἰς τὴν Λιτήν, στιχηρὰ Ἰδιόμελα*

*Ἦχος α΄.*

Δαυϊτικῶς εὐφράνθητε ἐν Κυρίῳ, καὶ ἀγαλλιᾶσθε ἅπαντες, οἱ εὐθεῖς τῇ καρδίᾳ. Ἰδοὺ γὰρ ἐξέλαμψεν, ἡ παγκόσμιος πανήγυρις, τῶν Θεοφόρων Γυναικῶν, ὑπὲρ τὴν πολύαστρον σφαῖραν, ὡς σελαοφόρους ἀστέρας, ταύτας προβάλλουσα, τῆς Ἐκκληοίας τῷ στερεώματι, ταῖς ἀκτινοβόλοις ἀστραπαῖς, τῶν ὑπὲρ φύσιν αὐτῶν ἀγώνων, καὶ ταῖς τῶν θαυμάτων λαμπρότησι, πᾶσαν τὴν γῆν καταστράπτοντας· διὸ καὶ πανηγυρίζοντες φαιδρῶς, τῷ Κυρίῳ βοήσωμεν. Κύριε πρεσβείαις αὐτῶν, παράσχου ἡμῖν τοῖς δούλοις σου, ἄφεσιν ἁμαρτιῶν, ὡς ἐλεήμων καὶ φιλάνθρωπος.

*Ἦχος β΄.*

Τοὺς ἀσκητικοὺς ὑμῶν καμάτους, καὶ μαρτυρικοὺς ἀγῶνας, τίς διηγήσεται ἀξίως, Θεοφόροι Γυναῖκες; Τῶν μὲν τῆς ἐγκρατείας τὸ ἀνένδοτον, τῶν δακρύων τὰ χείματα, τὰς παννύχους στάσεις, καὶ τῆς εὐχῆς τὸ σύντονον· τῶν δέ, τὴν πρὸ βημάτων παράστασιν, τὸ ἐν βασάνοις ἀπτόητον, καὶ τὴν πρὸς τὸν θάνατον εὐτολμίαν· δι᾽ ὧν θεοειδεῖς γενόμεναι, ὡς διὰ κλίμακος σαφῶς, πρὸς οὐρανίους σκηνὰς ἀνήλθετε, ἔνθα ἑορταζόντων τερψίθυμος ἦχος, ἀμέσως ἐντυγχάνουσαι, ὑπὲρ ἡμῶν Τριάδα τὴν Ὁμοούσιον.

*Ἦχος γ΄.*

Τὴν τοῦ θήλεος πᾶσαν, ἀσθένειαν ἀποῤῥίψασαι, καὶ τὸν Σταυρὸν τοῦ Χριστοῦ ἀράμεναι, ἀνδρικῶς πρὸς πάλας, τῶν νοητῶν ἐχθρῶν ἐχωρήσατε, οὓς κατὰ κράτος τροπώσαοαι, τροπαιοφόροι νικήτριαι ἀνεδείχθητε· διὸ τῶν Ἀγγέλων τὰ πλήθη, τῶν λαμπρῶν ὑμῶν ἀγώνων, τὰ κατορθώματα κατεπλάγησαν, ἀνθρώπων δὲ τὰ γένη ἐθαύμασαν, καὶ δαιμόνων σμῆνος, κατησχυνθὲν ὠδύρετο· ὁ δὲ στεφοδότης Χριστός, ἀμαραντίνοις στεφάνοις, ὑμᾶς ἐστεφάνωοε, καὶ τῆς αὐτοῦ Βασιλείας κληρονόμους ἐποίησεν. Ἐν ᾗ σὺν Ἀγγέλοις ἀγαλλόμεναι, ὑπὲρ ἡμῶν πρεσβεύσατε, τῶν ἐκτελούντων φαιδρῶς, τὴν σεβασμίαν μνήμην ὑμῶν.

*Ἦχος δ΄.*

Δεῦτε τῶν πιστῶν τὸ σύστημα, τῶν μοναστῶν τὰ στίφη, καὶ μοναζουσῶν ὁ σύλλογος, κοινὴν χορείαν συγκροτήσαντες, ἐναρμόνιον μέλος ταῖς Θεοφόροις Γυναιξὶν ᾄσωμεν· Χαίρετε ἐκβοῶντες, αἱ τῶν παθῶν τὰς ὁρμὰς νεκρώσασαι, καὶ τὸν πτερνιστὴν τῆς Εὔας ὠλέσασαι· χαίρετε αἱ τοῦ Χριστοῦ τὴν πίστην κηρύξασαι, καὶ τὴν πλάνην στιλητεύσασαι· χαίρεται αἱ τῶν ἰαμάτων πηγαὶ καὶ πάντων ἡμῶν ἀντιλήπτορες. Διὸ ὡς παριστάμεναι Χριστῷ, καὶ ταῖς ἐαὐτοῦ ἐλλαμπόμεναι, ὑπερφωτόις μαρμαρυγαῖς, παθῶν σκοτοδίνης ἡμᾶς λυτρώσασθε τοὺς εὐφημοῦντας ἐν ᾠδαῖς, ὑμᾶς καὶ θείοις ᾄσμασι.

*Ὁ Αὐτὸς*

Διαπλεύσασαι πανσόφως, τὴν τοῦ βίου θάλασσαν, τὴν ὄντως πολυτάραχον ἀκινδύνως πανοίδιμοι, τὰς ψυχικάς ὑμῶν ὁλκάδας, ὡς οἰακοστρόφοι περιδέξιοι, πρὸς γαληνοὺς λιμένας, τῆς



Οὐρανίου βασιλείας ἐγκαθωρμήσατε, ἐξ ἀγωγίμων μυστικῶν, οὔσας πεφορτισμένας, ἐν οἷς τὴν ὑπὲρ νοῦν γαλήνην ἀπολαύετε Γυναῖκες Θεοφόρητοι. Δι᾽ ὃ καὶ ἡμᾶς τοὺς ἐν αὐτῇ τοῖς πάθεσι κλυδωνιζομένους, τῶν εὐχῶν ὑμῶν τῷ πηδαλίῳ ἰθύνασαι, εἰς τοὺς γαληνοὺς λειμένας, τῆς ἀπαθείας προσορμήσατε, ἵνα εἰρηνικῶς ὑμᾶς μακαρίζομεν, καὶ τὸν δοξάσαντα ὑμᾶς δοξάζομεν Κύριον.

*Δόξα. Ἦχος πλ. δ΄.*

Η ἐπουράνιος πόλις, ἡ τῶν προτοτόκων Ἐκκλησία, καὶ τῶν ἐκλεκτῶν ἡ κατοικία, τὰ ἱερώτατα κατέχουσα καὶ ἄϋλα ὑμων πνεύματα, ἐνθέως ἀγάλλεται· ἡμεῖς δὲ ἐπὶ τῆς γῆς, οἱ τῆς σαρκὸς δέσμιοι, τὰ πολύαθλα ὑμῶν, κατέχοντες λείψανα, εὐλαβῶς αὐτὰ προσπτυσσόμενοι, ὀσμῆς πνευματικῆς πληρούμεθα, καὶ παγκόσμιον συγκροτοῦμεν πανήγυριν, εὐφημοῦντες τοὺς ἀγῶνας ὑμῶν, Γυναῖκες Θεοδόξαστοι, ἐν ψαλμοῖς καὶ ὕμνοις, τὸν ὑμᾶς δοξάσαντα δοξάζομεν Κύριον.

*Καὶ νῦν. Θεοτοκίον*

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

*Εἰς τὸν στίχον σιχηρὰ Προσόμοια*

*Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν ἀληθῶς*

Χαίροις ἱερωτάτη πληθύς, ἡ μυριάδας νοητῶν αἰθιόπων τε, τροπώσασαι τῇ δυνάμει τοῦ ζωηφόρου Σταυροῦ, καὶ ἡ ἀραμένη νίκης τρόπαια· αἱ κόσμον μισήσασαι, καὶ σαρκὸς τὴν εὐπάθειαν, καὶ τὴν διόλου ἐκ ψυχῆς ἀγαπήσασαι, ὡς Θεόσδοτον, δῶρον ὄντως ἐγκράτειαν· Χαίρετε μεγαλώνυμοι, Γυναῖκες πανεύφημοι, εἰς ἀρετῶν δι᾽ ἧς ὕψος πᾶσαι μετάρσιον ἤρθητε, δι᾽ ὃ ὁ Δεσπότης ἀντεδόξασε πλουσίως ὑμᾶς ὡς εὔσπλαγχνος.

*Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν ἡ αἴνεσις αὐτοῦ.*

Χαίροις ἱερωτάτη πληθύς, τῶν ἀπ᾽ αἰῶνος, Γυναικῶν Θεοφόρων τε· οἱ τύποι τῆς ἐγκρατείας, αἱ τῶν δακρύων πηγαί, εὐχῆς ἀενν́άου ἐργαστήρια, τοῦ Λόγου κειμήλια· τὰ τερπνὰ καὶ ἡδύτατα, τῆς οἰκουμένης, οἱ φωστῆρες ὑπέρλαμπροι, τῆς ἀσκήσεως, οἱ κανόνες εὐθύτατοι, πάντων ἡμῶν προστάτριαι, θαυμάτων αἱ θάλασσαι, Μοναζουσῶν θεία δόξα, ὡς ἀληθῶς καὶ ἀλείπτριαι· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

*Στίχ. Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται.*

Χαίροις ἱερωτάτη πληθὺς τῶν ἀπ᾽ αἰῶνος Γυναικῶν Θεοφόρων τε, τῷ Θρόνῳ αἱ παριστῶσαι, τῷ τῆς Τριάδος φαιδρῶς, ἐν χαρᾷ καὶ δόξῃ καὶ λαμπρότητι, καὶ Θείου πληρούμεναι, ὑπερφώτου φωτὸς ἀεί, τοῦτε, ἐκεῖθεν, ὑπὲρ νοῦν ἀποῤῥέοντος, καὶ τὴν ἄπαυστον, ἀναμέλπουσαι αἴνεσιν τάγμασι σὺν Ἀγγέλων τε, ἀΰλοις ἐν στόμασιν, ἐν θυμηδίᾳ καὶ τέρψει, ἀνεκλαλήτῳ μακάριαι, μεθ᾽ ὧν δυσωπεῖτε, τοῦ δοθῆναι ἡμῖν πᾶσι τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. β΄.*

Κύριε τῇ πανσθενεῖ σου δυνάμει, αἱ πάνσεμνοι κραταιωθεῖσαι Γυναῖκες, τοὺς ὑπὲρ φύσιν ἀγῶνας διηνύσαντο, καὶ τὸν πτερνιστὴν τῆς Εὔας ἐτροπώσαντο· ὅθεν καὶ τὰ στέφανα ἐδέξαντο τῆς νίκης αὐτῶν, παρὰ σοῦ τοῦ στεφοδότου, τοῦ παρέχοντος δι᾽ αὐτῶν ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτόκιον. Θεοτόκε σὺ εἶ ἄμπελος κτλ.*

*Τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.*

*Ἦχος α'. Τῆς ἐρήμου πολίτης*

Τὰς Ὁσίας Γυναίκας ἡδυφθόγγοις ἐν ᾄσμασιν, ἱεροπρεπῶς συνελθόντες, γηθοσύνως ὑμνήσωμεν, τὰς Θείας Ἀσκητρίας τοῦ Χριστοῦ, καὶ τὰς Ὁσιομάρτυρας ὁμοῦ, σὺν ταῖς Ὁμολογητρίαις ταῖς ἀγασταῖς, κραυγάζοντες ὁμοφώνως· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ θαυμαστώσαντι δόξα τῷ ἐνεργοῦντι δι' ὑμῶν πᾶσιν ἰάματα.

*Δόξα· τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον Τοῦ Γαβριὴλ φθεγξαμένου.*

*Τὰ λοιπὰ τοῦ Ἑσπερινοῦ καὶ ἀπόλυσις.*

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α'. Στιχολογίαν, Κάθισμα*

*Ἦχος α'. Τὸν τάφον σου Σωτὴρ*

Ἐξήστραψεν ἰδοὺ ὥσπερ ἥλιος μέγας, ἡ μνήμη ἡ σεπτὴ Γυναικῶν τῶν Ὁσίων, τὴν κτίσιν αὐγάζουσα, Θεϊκοῖς ἀμαρύγμασι, καὶ ἐλαύνουσα, τῆς ἀθυμίας τὸ σκότος, ὅθεν ἅπαντες, εὐσεβοφρόνως ἐν ὕμνοις, αὐτὴν ἑορτάσωμεν.

*Δόξα. τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον Ὅμοιον*

Ὁ νέος οὐρανὸς ὁ χωρήσας ἀῤῥήτως, τὸν ἐν τοῖς οὐρανοῖς μὴ χωρούμενον Λόγον, τὸ ἔμψυχον παλάτιον, τοῦ Δεσπότου τῆς κτίσεως, ἡ περίδοξος καὶ περιώνυμος πόλις, τοῦ Σωτῆρος μου, τῆς οὐρανίου πατρίδος, πολίτην με ποίησον

*Μετὰ τὴν β'. Στιχολογίαν, Κάθισμα*

*Ἦχος πλ. α'. Τὸν Συνάναρχον Λόγον.*

Τὴν οὐράνιον δόξαν ἐπιποθήσασαι, καὶ τὴν ζωὴν τὴν ἀγύρω ἐν τῇ ἀλήκτῳ τρυφῇ, βίον ἔνθεον ἐν γῇ ἐπολιτεύθητε, καὶ μεγίστων ἀρετῶν, ἀγλαΐαις ἱεραῖς, φαιδρῶς καθωραϊσθεῖσαι, συνήφθητε σὺν Ἀγγέλων, ἡλιομόρφοις δήμοις πάνσεμνοι.

*Δόξα. Ἦχος γ'. Τὴν ὡραιότητα.*

Ἐν παραστήματι, γιγαντιαίῳ φαιδρῶς, βημάτων ἔστητε, πρὸ δικαστῶν ἀσεβῶν, ὁμολογοῦσαι εὐθαρσῶς, Χριστὸν τὸν πάντων Κύριον, πλάνην διελέγχουσαι τῶν εἰδώλων πανεύφημοι, ὅθεν ὑπεμείνατε αἰκισμοὺς καρτερώτατα, τοὺς ὄντως ἀνυποίστους διόπερ, ὁ Στεφοδότης ὑμᾶς ἐδόξασε.

*Καὶ νῦν. Θεοτοκίον Ὅμοιον*

Σύλληψιν ἄσπορον, καὶ τόκον ἄφθορον, σὺ μόνη ἔσχηκας, ὡς ὑπερέχουσα, φύσεως πάσης λογικῆς, φανεῖσα τιμιωτέρα, ἀΰλων Δυνάμεων, Σεραφεὶμ ὑπερφέρουσα, ὄχημα πυρίμορφον, Χερουβεὶμ ἁγιώτερον, διὸ ὡς τοῦ Κυρίου μου μήτηρ, σῶσόν με κόρη Παντοδύναμε.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα.*

*Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον*

Νουνεχῶς καταλείψασαι τὰ φθαρτά, καὶ ἡδέα τοῦ κόσμου καὶ τὸν ζυγόν, Χριστοῦ τὸν γλυκύτατον. ἐπὶ ὤμων ἀράμεναι, αὐτῷ ἀνεπιστρόφως, κατηκολουθήσατε, διὸ καὶ μετὰ πότμον,



λαμπρῶς ἠξιώθητε, αἴγλης τῆς Τριάδος, ἐντρυφᾶν σὺν Ἀγγέλοις αἰῶνας εἰς ἅπαντας, καὶ τῆς ἄνω λαμπρότητος, Θεοφόροι Θεόληπτοι, μεθ' ὧν ὑπὲρ ἡμῶν ἐκτενῶς, δυσωποῦμεν ὑμᾶς καθικετεύσατε, τῶν τελούντων προσφόρως, ὑμῶν τὴν πανήγυριν.

*Δόξα. Ἦχος δ'. Ἐπαφάνης σήμερον.*

Ἑορτάζει σήμερον ἡ οἰκουμένη, τὴν φαιδρὰν πανήγυριν, τῶν Θεοφόρων Γυναικῶν, ἐν εὐφροσύνῃ κραυγάζουσα· Σὺ τῶν Ὁσίων Χριστὲ τὸ κραταίωμα.

*Καὶ νῦν. Θεοτοκίον Ὅμοιον*

Προστασία ἄμαχε τῶν θλιβομένων, καὶ πρεσβεία ἕτοιμος, τῶν πεποιθότων ἐπὶ σοί, ἐκ τῶν σκανδάλων με λύτρωσαι, καὶ μὴ παρίδῃς δεινῶς κινδυνεύοντα.

*Τὸ α'. Ἀντίφωνον τοῦ δ'. Ἦχου καὶ τὸ Προκείμενον*

*Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι*

*Στιχ. Καὶ ἔστησεν ἐπὶ πέτραν. τοὺς πόδας μου καὶ*

*Τὸ πᾶσα πνοή, καὶ τὸ Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον, τῶν δέ Παρθένων, ζήτει αὐτὸ ἐν τῷ Σαββάτῳ τῆς ιζ'. ἑβδομάδος τοῦ Ματθαίου*

*Ὁ Ν'. Ψαλμός. Δόξα. Ταῖς τῶν σῶν Ὁσίων.*

*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου*

*Εἶτα τὸ Ἰδιόμελον Ἦχος β'.*

*Στιχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, κ.τ.λ.*

Τῆς οὐρανίου βασιλείας ἐπιτεύξασθαι, τῆς μηδόποτε ἐχούσης λῆξιν καταγλιχόμεναι, πάντα τὰ τῆς γῆς παρεδράμετε, καὶ ὡς ἄσαρκοι ἐβιωτεύσατε, ἧς π. ρ τὰ ἀγαθὰ νοερῶς ἐνοπτριζόμεναι, τῆς σαρκὸς τὸ πάχος, ταῖς ἀσκήσεσιν ἐλεπτύνατε, καὶ ὡς ἁγναὶ περιστεραί, ἀρετῶν ταῖς πτέρυξι, πρὸς τὰς καλιὰς αὐτῆς ἀνέπτητε· ἐν αἷς ἀγαλλόμεναι, τὴν ὑπὲρ νοῦν ἀγαλλίασιν, Γυναῖκες παμμακάριστοι, ὑπὲρ ἡμῶν Χριστῷ πρεσβεύσατε, τῶν ἐκτελούντων φαιδρῶς, τὴν καινὴν ὑμῶν πανήγυριν.

*Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.*

*Εἶτα οἱ κανόνες, πρῶτον τῆς Θεοτόπου οἷον βούλει, καὶ τῶν Ὁσίων*

*Ὠδὴ α'. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.*

Ἄναρχε Πάτερ καὶ Υἱὲ συνάναρχε, καὶ Θεῖον Πνεῦμα ὁμοῦ, Τριὰς Παναγία, καὶ ἡ ὁμοούσιος, θερμῶς καθικετεύωσε, φωτισμόν μοι παράσχου, ὅπως ὑμνήσω ἐν ᾄσμασι Γυναικῶν Ὁσίων τὸν σύλλογον.

Ἀναστασίαν τὴν Ὁσίαν σήμερον, ἀνευφημῶ ἐν ᾠδαῖς, τὴν ὑπεριδοῦσαν ἅπαντα τὰ γήϊνα, καὶ ἀνδρικῶς ἀσκήσασαν, σὺν αὐτῇ μεγαλύνω, Ἀθανασίαν τὴν πάνσεμνον, θείου Ἀνδρονίκου τὴν σύζυγον.

Ἀθανασίαν τὸ Αἰγίνης βλάστημα, ᾄσμασιν μέλψωμεν, καὶ σὺν Ἀδολίᾳ, Ἄνναν τὴν πανεύφημον, τὴν ἀνδρικῷ τῷ σχήματι, ὑπὲρ φύσιν γενναίως, ὄντως ἐν γῇ βιωτεύσασαν, καὶ τὸν πονηρὸν ἐκνικήσασαν.

Σὺν ταῖς Ἀνθούσαις ταῖς δυσὶν ὑμνήσωμεν, χαρμονικῶς ἐν ᾠδαῖς, Ἄνναν τὴν Ὁσίαν, τὴν ἀειμακάριστον, σὺν ταύτῃ μακαρίσωμεν, καὶ ἑτέραν νῦν Ἄνναν, τὴν προσκυνοῦσαν Κυρίου μου, τὸ Θεανδρικόν τε ἐκτύπωμα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Πῶς μὴ ὑμνήσω Ἄνναν τὴν τρισόλβιον, ἢ πῶς μὴ ᾄσω πιστῶς, Ὁσίαν Ἀγάθην, ἀσκουσῶν ἀγλάϊσμα, Ἀναστασῶ τὴν ἔνδοξον, τὴν ἐν τοῖς Λευκαδίου, πῶς μὴ δοξάσω; ἃς Κύριος, καὶ Δεσπότης πάντων ἐδόξασε.

*Θεοτοκίον*

Τῷ τοῦ Υἱοῦ σου Παναγία Δέσποινα, τρωθεῖσαι ἔρωτος Ὅσιαι Γυναῖκες, πάντα τὰ ἐπίγεια, ἡγήσαντο ὡς σκύβαλα, καὶ αὐτοῦ ἐπὶ ὤμων, Σταυρὸν τὸν θεῖον ἀράμεναι, ἄσαρκοι καθάπερ ἐβίωσαν.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Τῶν Ὁσίων τὸ κλέος, ἀνευφημεῖν δίκαιον, καὶ τῶν ἀθληφόρων τὴν δόξαν, Ρώμης τὸ βλάστημα, Ἀναστασίαν νῦν, καὶ Ἀνυσίαν τὸν γόνον, τῆς Θεσσαλονίκης τε καὶ ἐγκαλλώπισμα.

Μακαρίζω προφρόνως, τὸ ἀσκουσῶν καύχημα, ἔνδοξον Ἀβίταν σὺν ταύτῃ, Ἀσέλαν πάντιμον, συνανυμνῶ ἐν ᾠδαῖς, τὴν τοῦ Χριστοῦ μου Ὁσίαν, Ἀπολλιναρίαν τε τὴν πανταοίδιμον.

Ἀγλαῖς ἡ ἁγία χαρμονικῶς ᾄδεται, καὶ ἡ θεοφόρος Βρυαίνη, σὺν Βενερίᾳ νῦν, ἡ παμμακάριστον. Βασιανίλα τιμᾶται, τὰ τοῦ θείου Πνεύματος κατοικητήρια.

Ὕμνον θεῖον προσάγω, ἀπὸ ψυχῆς σήμερον, θείᾳ Γοργονίᾳ πανσέμνω, καὶ σὺν αὐτῇ τιμῶ, τὸ ἐγκαλλώπισμα, μοναζουσῶν Γελασίαν, καὶ Γυναῖκας δύο, Ὁσιομάρτυρας.

Κύρου μέλπω τὸν γόνον, καὶ ἱερὸν βλάστημα, ἔνδοξον Δομνίναν τὴν νέαν, καὶ τὴν πανάγαστον, ἄλλην Δομνίναν ὑμῶν. καὶ Καρχηδόνος τὸ εὖχος, Δομνίναν τὴν πάντιμον, τιμῶντες ἐν ᾄσμασι.

*Θεοτόκιον*

Παρθενίαν ποθοῦσαι, ὦ Μαριὰμ Ἄχραντε, Ὅσιαι Γυναῖκες τοῦ κόσμου, ἰδέᾳ χαίρουσαι, πάντα ἀπώσαντο, καὶ σοῦ ὀπίσω δραμοῦσαι, τῆς Ἀειπαρθένου τε σὺν σοὶ ἀγάλλονται.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Ἐν ᾠδαῖς συνελθόντες πνευματικαῖς, τῶν Ὁσίων Γυναίων νῦν τὸν χορόν, συμφώνως τιμήσωμεν, εὐσεβείας οἱ τρόφιμοι, εὐστάθμῳ συνειδότι, δοξάζοντες Κύριον, τὸν παράσχοντα ταύταις αὐτοῦ τὴν ἀήττητον, δύναμιν δι᾽ ἧς περ, πτερνιστὴν τὸν τῆς Εὔας, ἀνδρείως ἐτροπώσαντο, καὶ τὰ τρόπαια ἤραντο, τὰ τῆς νίκης· κραυγάζοντες. πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, ἡμῖν τοῖς πόθῳ τιμῶσιν ὑμᾶς πανταοίδιμοι.

*Δόξα καὶ νῦν. Θεοτοκίον Ὅμοιον*

Τὸν φλογμὸν τῆς γεέννης καὶ ἐμπρησμόν, τὸν βρυγμὸν τῶν ὀδόντων καὶ τὸν κλαυθμόν, τὸν ἐλεεινότατον, χωρισμὸν καὶ πικρότατον, τοῦ τῶν Ἁγίων κλήρου καὶ τῆς ὁμηγύρεως, ἐνθυμουμένη φρῖξον, ψυχή μου καὶ στέναξον, καὶ τὰ γραμματεῖα, τῶν μυρίων χρεῶν σου, ἐξαλεῖψαι ἐπείχθητε, κατανύξεως δάκρυσι, συνεργὸν ἀκαταίσχυντον, ἔχουσα τὴν μόνην Ἁγνήν, δι᾽ αὐτῆς γὰρ δέδοται ἡ ἄφεσις, τοῖς αὐτὴν ὀρθοδόξως, Θεοτόκον δοξάζουσι.

*Ὠδὴ δ΄. Σύμου ἰσχὺς Κύριε.*

Ἡ ἱερὰ μονὴ ἀγάλλου καὶ χόρευε, ἐν Κυρίῳ τοῦ χρυσοβαλλάντου νῦν, καὶ γὰρ σοφὴν τε ὡς ἀληθῶς ἔσχες ἡγουμένην, Εἰρήνην τὴν εἰρηνώνυμον, ἣν πόθῳ εὐφημοῦσα, ἱεραῖς μελῳδίαις, τὸν δοξάσαντα ταύτην μεγάλυνον.

Ὕμνοις τιμῶ Ἀλεξανδρείας τὸ βλάστημα, Εὐφροσύνην τὴν ἀειμακάριστον, τὴν ἐν τῷ σχήματι ἀνδρικῷ, Σμάραγδος τῇ κλήσει, ὑπὲρ τὸ μέτρον ἀσκήσασαν, φύσεως ἀνθρωπίνης, καὶ ἐν τέλει τοῦ βίου, γνωρισθεῖσα τοῖς πᾶσιν ὅτι ἦν γυνή.



Πνευφημῶ, καὶ Εὐπραξίαν τὴν πάνσοφον, τῶν Ὁσίων Γυναικῶν καλλώπισμα. καὶ Εὐανθίαν τὴν ἱεράν, σὺν αὐταῖς γεραίρω, τὴν Εὐστολίαν τὴν ἔνδοξον, καὶ ἄλλην Εὐστολίαν, σὺν Εὐβούλῃ τῇ θείᾳ, Εὐφροσύνην Ρωσσίας τὸ βλάστημα.

Χαῖρε πηγὴ, τῶν ἰαμάτων ἀέναε, Ἐλισσάβετ καὶ θαυμάτων πέλαγος· τῆς Ἰκαρίας ἡ βοηθός, θεία Θεοκτίστη, ὄρπηξ δὲ Λέσβου ὑπέρτιμος, ἡ ζήσασα τὸν βίον, τῶν πτηνῶν ἐν τῆς Πάρου, τῇ ἐρήμῳ γυμνή τε καὶ ἄστεγος.

Τὰς τοῦ Χριστοῦ κλεινὰς Ὁσίας καὶ Μάρτυρας, ἀγαμένως ἀνυμνῶ ὡς ἔοικε, τὴν Εὐγενείαν τὴν ἀγαστήν, καὶ σὺν Ἐπιστήμῃ, τὴν Εὐτροπίαν τὴν ἔνδοξον, καὶ θείαν Εὐδοκίαν, τὴν ἐκ τῆς Σαμαρείας, ἃς Χριστὸς ἀγαστὸς προεδόξασε.

Καὶ σὺν αὐταῖς, ἄλλην Ὁσίαν καὶ Μάρτυρα, μεγαλύνω τὴν τῆς νήσου πρόμαχον, τῶν Κυθηραίων καὶ ἀρωγόν, πάντιμον Ἐλέσαν, καὶ τῆς τοῦ Βύζαντος βλάστημα, Θεοδοσίαν θείαν, τὴν λάμψασαν ἀσκήσει, καὶ ἀθλήσει δοξάσασαν Κύριον.

*Θεοτοκίον.*

Σοῦ ταῖς φαιδραῖς, καταυγασθεῖσαι ἐλλάμψεσι, φωτοδόχε Κόρη πανακήρατε, καὶ τῇ δυνάμει τῇ κραταιᾷ, Σταυροῦ τοῦ Υἱοῦ σου, κραταιωθεῖσαι αἱ πάνσεμνοι, Γυναῖκες τὸν ἀρχαῖον, ἐτροπώσαντο ὄφιν, καὶ παθῶντε διῆλθον τὴν ζόφωσιν.

*Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.*

Θεοδώρα ἡ θεία, ἡ Ἀκαρνανίαν αὐγάζουσα θαύμασι, καὶ Θεοφανὼ νῦν, ἱεραῖς μελῳδίαις τιμάσθωσαν, αἱ καταλιποῦσαι, τιμὰς καὶ δόξας βασιλείους, καὶ βιώσασαι θεῖοι ὡς Ἄγγελοι.

Θεοδώρα ἑτέρα τῆς θεσσαλονίκης βλαστὸς ἱερότατος, σὺν τῇ Θεοδώρᾳ. τὸ Αἰγίνης φαιδρὸν ἀγαλλίαμα καὶ Ἀλεξανδρείας ἡ πανολβιὰ Θεοδώρα, μακαρίζονται θείοις ἐν ᾄσμασι.

Τοῦ Χριστοῦ νῦν τὴν δούλην, θείαν Θεοδούλην προφρόνως τιμήσωμεν, σὺν τῇ Θεοδώρᾳ, Θωμαΐδαν ἁγνοίας τὸ ἄγαλμα, καὶ τῆς Καισαρείας, τὴν ἀρωγὸν καὶ πολιοῦχον, Θεοδώραν ἡμῶν δὲ ὑπέρμαχον.

Ἡ πηγὴ τῶν θαυμάτων ταρὰ πάντων σήμερον φαιδρῶς δοξάζεται, Θεοκλήτω ἡ θεία. σὺν αὐτῇ Θεοδότη ἡ ἔνδοξος, καὶ θαραπενίδες, δυὸ τῆς Ξένης τῆς Ὁσίας, Θεοδότη ἑτέρα ἡ πάνσεμνος.

*Θεοτόκιον.*

Μοναζόντων ἁπάντων, Μῆτερ ὦ ἀπείρανδρε ὑπάρχεις στήριγμα, καὶ ἡ θεία σκέπη, ὀρθοδόξων δὲ ὄντως ὑπέρμαχος, ὅθεν δυσωποῦμεν, ῥῦσαι ἡμᾶς τοὺς σὲ ὑμνοῦντας, ἐκ παντοίων κινδύνων καὶ θλίψεων.

*Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτὴρ*

Ἰούστης τοὺς ἱερούς, ἀγῶνας ἄγαμαι σήμερον, ἀναπολῶν τῷ νοΐ, καὶ τῆς Ἰουλιανῆς, Ἰσιδώρας τοὺς στεῤῥοὺς πόνους μακαρίζω, Ἱερείας σὺν αὐτῆς τιμῶ.

Ὑμνείσθω ᾀσματικῶς, ἡ Ἰουλίττα σὺν Κύρᾳ νῦν, Κανδίδα καὶ σὺν αὐταῖς, αἱ πέντε κανονικαί, τιμάσθωσαν ἱερῶς, αἱ ἀποτμηθεῖσαι, φιλοχρύσου θύτου τῇ χειρί.

Τὰς τοῦ Χριστοῦ τοῦ Θεοῦ, Ὁσιομάρτυρας μέλψωμεν, ἐν ᾄσμασι καὶ ᾠδαῖς, πιστοὶ ἀγαλλόμενοι. Λιβύη τὴν ἔνδοξον, σὺν τῇ Λεωνίδι, τῶν Ὁσιοάθλων καύχημα.

Γεραίρω μελῳδικῶς, Μαρίαν τὴν πανταοίδιμον, τὴν ζήσασαν ὡς πτηνόν, εἰς ἔρημον ἄβατον, γυνὴν τε καὶ ἄστεγον, καὶ τροπωσαμένην, τὸν πρὶν ταύτην ἀπατήσαντα.

Ἀγάλλου νῦν ἐν Χριστῷ, τοῦ Ἰορδάνου ἡ ἔρημος, ὅτι ἐν σοὶ ἀνδρικῶς, Αἰγύπτου τὸ βλάστημα, Μαρία ἡ πάνσεμνος ἀγωνισαμένη, τὸν ἀρχέκακον κατέβαλε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

πρὸς αὐτὰς ἐκβοῶντες, ῥύσασθε ἐκ κινδύνων, παντοίων τε καὶ θλίψεων, καὶ ἐν ὥρᾳ τῆς δίκης φρικτοῦ πυρός, τοῦ διαιωνίζοντος ταῖς πρεσβείαις, ὑμῶν πρὸς τὸν φιλάνθρωπον τοὺς ὑμᾶς εὐφημοῦντας.

*Ἕτερον Γυναῖκες ἀκουτίσθητε.*

Γυναῖκες οὐρανόφρονες, τῷ κόσμῳ ἀνεδείχθητε, τῆς χαμαιζήλου τρυφῆς γάρ, πρὸς τὴν οὐράνιον δόξαν τὴν ὄντως ἀνεκλάλητον, τρυφὴν καὶ ἀδιάρρευστον, τὸν νοῦν ὑψώσασαι πᾶσαι, ἐν ᾗ Ἀγγέλων σὺν δήμοις, ἀγάλλεσθε εἰς αἰῶνας.

*Θεοτοκίον Ὅμοιον.*

Μαρία κυριώνυμε, σῇ μεσιτείᾳ πάντοτε, μὴ διαλείπῃς χρωμένη, πρὸς ὃν ἔτεκες Κόρη, ὑπὲρ σῶν δούλων Πάναγνε, τῶν ὑμνητῶν τοῦ τόκου σου, καὶ γὰρ ἰσχύεις Δέσποινα, ὅσα καὶ βούλει ποιεῖσαι, ὡς μήτηρ τοῦ Βασιλέως.

---

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμια.*

*Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.*

Ὢ τοῦ παραδόξου θαύματος! ὁ οὐρανὸς καὶ ἡ γῆ, συναγάλλονται σήμερον, καὶ συνεορτάζουσι τοῖς Ἀγγέλοις οἱ ἄνθρωποι, ἐπὶ τῇ μνήμῃ τῇ λαμπραυγέτιδι, τῶν θεοφόρων σοφῶν Γυναίων τε· δόξαν οὖν ἅπαντες. τῷ Χριστῷ προσοίσομεν, τῷ δι' αὐτῶν δωρουμένῳ ἅπασι, τὸ μέγα ἔλεος.

Ὢ τοῦ παραδόξου θαύματος! ὑπὲρ ἡλίου αἰγάς, ἐξανέτειλε σήμερον, ἡ καινὴ πανήγυρις, Γυναικῶν τῶν Ὁσίων φαιδρῶς, ταῖς σελασφόροις ἀκτῖσιν ἅπασαν, τὴν οἰκουμένην νῦν σελαγίζουσα, καὶ ἀπελαύνουσα, τῶν δαιμόνων φάσματα· ὅθεν πισταί, ταύτην ἑορτάσωμεν ἀγαλλιώμενοι.

Ὢ τοῦ παραδόξου θαύματος! ὁ ὑπερήφανος νοῦς, ὁ ἐχθρὸς ὁ ἀρχέκακος, ὁ πτερνίσας πρότερον Εὔα τὴν προμήτορα, ὑπὸ Γυναίων καταπεπάτηται, νῦν Θεοφόρων καὶ καταβέβληται, ὢ τῆς δυνάμεως τοῦ Σταυροῦ σου Δέσποτα, δι' ἧς Χριστὲ φύσις ἡ τοῦ θήλεος, λαμπρῶς ἠρίστευσεν

Χαίροις ἱερὰ ὁμήγυρις, ἡγιασμένη πληθύς, ἱερώτατε σύλλογε, κραταιὰ συνέλευσις, Γυναικῶν τῶν Ὁσίων ἀεί, τῶν ἀπ' αἰῶνος ἀσκησασῶν λαμπρῶς, καὶ ἐπὶ τέλει ἀθλησασῶν στεῤῥῶς· ὡς παῤῥησίαν οὖν, κεκτημέναι ἅπασαι, πρὸς τὸν Χριστόν, ἐκτενῶς πρεσβεύσατε ἐλεηθῆναι ἡμᾶς.

*Δόξα. Ἦχος πλ. α'.*

Ἐν θεοπνεύστοις ᾄσμασι, τὴν θεοκόσμητον μνήμην, θεοπρεπῶς ἐκτελέσωμεν τῶν Θεοφόρων Γυναικῶν, καὶ θείοις ἔπεσι, τοὺς θαυμαστοὺς αὐτῶν ἀγῶνας, θεοφρόνως εὐφημήσωμεν, ὦ θεοσύλλεκτον ἄθροισμα σήμερον, ἐκβοῶντες πρὸς αὐτάς, συμφώνως καὶ λέγοντες: χαίροις ὦ μακαρία πληθύς, ἡ ἐξ Ἀσκητριῶν, Ὁμολογητριῶν, καὶ Ὁσιομαρτύρων συγκροτουμένη, τὰ τοῦ Λόγου κειμήλια καὶ ἱερὰ ἐντρυφήματα· ὑμεῖς γὰρ ἐν ἀσκήσει γενναιόφρονες ἐδείχθητε, καὶ ἐν ἀθλήσει ἀνδρειόφρονες, μὴ ὑποπτήξασαι τῶν ἐναντίων τὰς προσβολάς, καὶ ἐν ταῖς βασάνοις μὴ δειλιάσασαι· διὸ καὶ τὸν ἀγῶνα τελέσασαι, νομίμως ἐδοξάσθητε, παρὰ τοῦ Στεφοδότου· ᾧ παριστάμεναι ἐν δόξῃ, μὴ παύσησθε ὑπὲρ ἡμῶν πρεσβεύουσαι.

*Καὶ νῦν Θεοτοκίον*

*Μακαρίζομέν σε Θεοτόκε Παρθένε κτλ.* *Δοξολογία μεγάλη καὶ ἀπόλυσις*

---

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Τὰ τυπικά, οἱ μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τῶν Ὁσίων ᾠδὴ γ'. καὶ στ'.*
*Ἀπόστολον δὲ καὶ Εὐαγγέλιον τῶν Ἁγίων Πάντων.*

*Μεγαλυνάρια*

Δεῦτε ἐν εὐήχοις πάντες ᾠδαῖς, ὑμνήσωμεν πόθῳ, τὰς Ὁσίας τοῦ Ἰησοῦ, σὺν ταῖς Ἀσκητρίαις, καὶ Ὁμολογητρίαις, κλεινὰς Ὁσιομάρτυρας ὦ φιλέορτοι.

Τοὺς ἀνευφημοῦντας ὑμᾶς πιστῶς, ῥύσασθε κινδύνων, εὐπροσδέκτοις ὑμῶν εὐχαῖς, Ὅσιαι Γυναῖκες, καὶ ὥρᾳ τῇ τῆς δίκης, πυρὸς τοῦ αἰωνίου φρικτῆς κολάσεως.

# ΟΙΚΟΙ ΚΔ'.

## ΕΙΣ ΤΑΣ ΟΣΙΑΣ ΓΥΝΑΙΚΑΣ

*Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.*

*Κοντάκιον Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ*

Τῶν θεοφόρων Γυναικῶν τὸν θεῖον σύλλογον
Μοναζουσῶν ἀνευφημήσωμεν τὸ σύστημα
Σὺν ἐμοὶ δῶρο ἐν ᾄσμασιν ἡδυφθόγγοις
Καὶ γὰρ αὗται τῷ Χριστῷ ἀεὶ παρίστανται
Ἐκτενῶς ὑπὲρ ἡμῶν καθικετεύουσα
Ταύταις λέγοντες, θεοδόξαστοι χαίρεται.

Ἄνοιξόν μου τὸ στόμα, Ἰησοῦ ὁ Θεός μου, τοῦ ὑμνῆσαι ὀνομαστὶ οἰκτίρμων, τὰς ἀπ' αἰῶνος εὐαρεστησάσας σοι Ὁσίας Γυναῖκας, ἐν ἀσκήσει τε καὶ ἀθλήσει, καὶ βοῆσαι πρὸς αὐτὰς τοιαῦτα.

Χαίρετε θρόνῳ Χριστοῦ ἑστῶσαι
Χαίρετε δόξαν αὐτοῦ ὁρῶσαι
Χαῖρε Ἀναστασία ἀσκουσῶν αὔχημα
Χαῖρε Ἀθανασία Αἰγίνης γέννημα
Χαῖρε Ἀνδρονίκου σύμβιε Ἀθανασία σεμνὴ
Χαῖρε ἀνδρικῶς ἀσκήσασα Ἄννα ὄντως ἡ κλεινὴ
Χαίρετε Ἀδολία καὶ ἡ Θεία Ἀνθοῦσα
Χαίρετε σεπτὴ Ἄννα καὶ ἑτέρα Ἀνθοῦσα
Χαῖρε ἑτέρα πανεύφημε Ἄννα
Χαῖρε καὶ ἄλλη πανένδοξε Ἄννα
Χαίρετε θαύματα τῶν κατορθωμάτων
Χαίρετε ὕψος θείων χαρισμάτων
Χαίρεται Γυναῖκες Ὅσιαι

Βαβαὶ ὑμῶν τῶν ἀγώνων, καὶ τῆς δόξης τῆς θείας! τῶν ἐπέκεινα παντὸς ἐγκωμίου· ὅτι ἐν σώματι ὑλικῷ, ἀΰλους ἐχθροὺς ἐτροπώσασθε· νῦν δὲ θεοὶ μεθέξει Θεοῦ χρηματίζετε βοῶσαι

Ἀλληλούϊα

Γεηρὸν ἅπαν ἄχθος, ἀπερρίψατε πόρρῳ, πόθῳ βιοτῆς οὐρανίου· διὸ ἐν τῷ κόσμῳ ὑπερκοσμίως ἐβιωτεύσατε, καὶ ὑπερκοσμίους συνηριθμήθητε, ἀκούουσαι ὑπὸ τῶν ἐν κόσμῳ.

Χαίρετε στῦλαι τῆς παρθενίας
Χαίρετε λύχνοι τῆς μετανοίας
Χαῖρε τῶν Ὁσίων Ἀβέτα συνέριθος
Χαῖρε τῶν Ἁγίων Ἀσέλα συνδίοκτος
Χαῖρε Ἀγάθη ἡ ἔνδοξος εὐσεβῶν ἡ βοηθὸς
Χαῖρε Ἀναστασὼ ὄλβιος τῶν θαυμάτων ποταμὸς
Χαῖρε τῶν Ρωμαίων Ἀναστασία τὸ ἕρκος
Χαῖρε Θεσσαλονίκης Ἀνυσία τὸ ἔρνος
Χαῖρε Θεότιμ' Ἀπολλιναρία
Χαῖρε Θεόσεπτ' Ἀγλαῒς Ρωμαία
Χαίρετε πτῶσις ἐχθρῶν ἀοράτων
Χαίρετε ῥῶσις ἀσθενῶν ἁπάντων
Χαίρετε Γυναῖκες Ὅσιαι.

Δύναμιν οὐρανόθεν, ἐν αἰτήσει συντόνῳ ᾐτήσασθε τοῦ λαβεῖν παρὰ τοῦ ὑψίστου· ἣν καὶ εἰληφυῖαι σαφῶς, ταῖς ἀντικειμέναις δυνάμεσι φοβεραὶ ὤφθητε, καὶ Τροπαιοῦχοι αὐτῷ ἐμέλπατε.

Ἀλληλούϊα

Ἔχουσαι ἐν καρδίᾳ, φλόγα ἄϋλον θείαν, Χριστῷ ἀγάπης τῆς γλυκείας, ἡδονῶν ἄσπετον φλόγα, δακρύων ῥείθροις κατεσβέσατε! καὶ χάριν θεαυγῆ εἰσδέξασθε, ἐνωτιζόμεναι θεοῤῥημόνως.

Χαίρετε Ἄγγελοι ἐπίγειοι
Χαίρετε ἄνθρωποι οὐράνιοι
Χαῖρε Θεοφόρε Βρυσίνη πανθαύμαστε
Χαῖρε Θεοφράδμων Βενερια πανένδοξε
Χαῖρε κλέος τῶν ὑμνούντων σε Βασιανίλα σεμνὴ
Χαῖρε δόξα τῶν τιμώντων σε Γελασία ἀγαστὴ
Χαῖρε Γοργονιὰ ἡ παρεστῶσα Κυρίῳ
Χαίρετε Γυναῖκες Ὁσιομάρτυρες δύο
Χαῖρε Δομνίνα τῆς Κύρου ὁ γόνος
Χαῖρε Δομνίνα Καρχηδόνος τὸ εὖχος
Χαίρετε κόσμου φθαρτὰ παριδοῦσαι
Χαίρετε δόξαν μεγίστην εὑροῦσαι
Χαίρετε Γυναῖκες Ὅσιε

Ζήλῳ τῆς εὐσεβείας, πυρπολούμεναι θείῳ Γυναῖκες Ὁσιόαθλοι πᾶσαι· διὸ ἐναντίων ἡγετῶν, καὶ βασιλέων τορῶς ἀνεκήρυττον Τριάδα ὁμοούσιον, ἣν προσκυνοῦντες ἐκβοῶμεν.

Ἀλληλούϊα

Ἤστραψαν οἱ ἀγῶνες, Γυναικῶν τῶν Ὁσίων, ἐν πάσῃ θεαυγῶς τῇ ὑφηλίῳ, καὶ καταυγάσαντες τοὺς ἐν σκότει τῶν παθῶν καθημένους, πρὸς ἐργασίαν τῶν καλῶν διήγειραν, ἐκβοῶντας λιγυροφθόγγως.

Ψέλλισμα θε φόροι, εὐτελὲς ὡς νηπίων, προσδέξασθε τὸν μικρόν μου ὕμνον· τῷ γὰρ πόθῳ ὑμῶν κατασχεθείς, ἀνυμνῆσαι ὑμᾶς προτεθύμημαι· διὸ πρυτανεύσατέ μοι μίαν χάριν καὶ αὖθις ἀναβοῶντι.

Χαίρετε Παρθένοι Θεηγόροι
Χαίρετε Γυναῖκες Θεοφόροι
Χαίρετε Ταὼρ καὶ Ταλίδα ἡ ἔνδοξος
Χαῖρε Τρύφαινα τῆς Κυζίκου ὑπέρμαχος
ΧαῖρετῶνθαυμάτωνπέλαγοςΣ' βαστιανὴ τερπνὸν
Χαῖρε Ταϊσία πάνσεμνε μετανοίας φῶς φαιδρὸν
Χαῖρε ὦ Φεβρωνία καλλιπάρθενε μάρτυς

Χαῖρε καὶ σὺ Φεβρωνία τῆς Ρωσσίας ὅρπηξ
Χαῖρε 'Αθηνῶν Φιλοθέη γόνος
Χαῖρε Φωτεινὴ ἡ ὄντως Θεόφρων
Χαίρετε καὶ νῦν ἐνώνυμοι πᾶσαι
Χαίρετε ἀεὶ ἀνώνυμοι πᾶσαι
Χαίρετε Γυναῖκες Ὅσιαι

Ω πληθὺς μακαρία, Γυναικῶν τῶν Ὁσίων, τῶν ἀπ' αἰῶνος εὐαρεστησασῶν τῷ Κυρίῳ· δεξαμένη τὴν νῦν προσφοράν, ἀπὸ παντὸς κινδύνου ῥῦσαι ἅπαντας, καὶ τῆς μελλούσης φρικτῆς κολάσεως, τοὺς βοῶντας.

Ἀλληλούϊα

*Καὶ αὖθις τὸ κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ*

Τῶν θεοφόρων Γυναικῶν τὸν θεῖον σύλλογον
Μοναζουσῶν ἀνευφημήσωμεν τὸ σύστημα
Σὺν ἐμοὶ δεῦρο ἐν ᾄσμασιν ἡδυφθόγοις
Καὶ γὰρ αὗται τῷ Χριστῷ ἀεὶ παρίστανται
Ἐκτενῶς ὑπὲρ ὑμῶν καθικετεύουσαι
Ταύταις λέγοντες, θεοδόξαστοι χαίρετε.

Ὑπὸ

ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ

Μικραγιαννανίτου

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ